οὔποτ' ἂν φαῖμεν μὴ οὐ τὰς ἰδέας ὑφεστηκέναι. καὶ πρώτας εἶναι οὐσίας
ὅτε οὐδὲ ἀνουσίους ὅλως φαμὲν τοὺς τοῦ πρώτου καὶ μεγάλου λόγους θεοῦ,
οὔτε μὴν τὰ νοήματα οὐδέ γε ὅλως τὰς ἐνεργείας.

5 Οὕτω μὲν δὴ ταῦτα, οὐχ ὥσπερ ὑμεῖς φατε διαβάλλοντες, τοῖς παλαιοῖς
F 74ᵛ δεδογμένα, Πλήθωνι τε ἀποδεκτέα καὶ ἡμῖν τηρητέα, καὶ ὅσοι τὴν ἀλήθειαν
I 3 μὴ τὸ ψεῦδος ἐπιζητοῦσι. σὺ δ' οἷς ἂν βούλοιο ἕπεσθαι, ὅτι γε οὐδ' ἄλλῳ ἢ
L 92ᵛ Ἀριστοτέλει ἕποιο ἂν ἐοικὼς αὐτῷ τῇ δοξομανίᾳ, ἕπου μηδενός σε κωλύοντος.
οὐδὲ γὰρ οὐδὲ τό γε νῦν εἶναι περὶ τούτων ἡμῖν ὁ λόγος, ἀλλ' ὅτι περὶ οὐσίας
γε οὐκ ὀρθῶς σοί τε καὶ Ἀριστοτέλει καὶ εἴρηται καὶ δεδόξασθαι.

3, 1 Περὶ μὲν δὴ τούτου ἱκανῶς. μετιτέον δ' ἂν εἴη ἐπ' ἐκεῖνό σου τὸ ἀξίωμα,
D 134ᵛ ἐφ' ᾧ γε μέγα φρονῶν οἴει νενικηκέναι τὸν Πλήθωνα, ἄνδρα τὰ ἐς λόγους
P 179 ἀήττητον οὐχ ἧττον Ἀχιλλέως οὐδ' Ἡρακλέους ἐν τοῖς πολέμοις. ὡδί δ'
αὐτὸς αὐτὸ ἀξιοῖς.

2 »Ἀεὶ γὰρ διὸ ὑπάρχει ἕκαστον, ἐκεῖνο μᾶλλον ὑπάρχει. τὰ δὲ εἴδη καὶ
τὰ γένη διὰ τὰ καθ' ἕκαστα. μὴ οὐσῶν γάρ τοι τῶν πρώτων οὐσιῶν ἀδύνατον
εἶναί τι τῶν ἄλλων. πάντα γὰρ τἆλλα ἢ τῶν καθυποκειμένων λέγεται τούτων
ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστι. καὶ πρῶτα δὲ κυρίως τὰ γνωριμώτερα ἡμῖν
καὶ ἀρχὴν τὴν κατὰ γένεσιν ἔχοντα«, καὶ περαιτέρω.

3 Τί ἂν εἴης πείθων, ἀλαζὸν καὶ κοάλεμε; οὐκ ἔρρωταί σοι ὁ λόγος καίπερ
Mn 167 μέγα αὐχοῦντι ἐπ' ἐπιστήμῃ τῇ λογικῇ. ἴσως δ' ἂν καὶ ἄλλοι ᾤοντό σε εἶναι
τουτονὶ μὴ εἰδότες ἑαυτοὺς ἐξηπατηκότες. ἐς γὰρ δεῦρο ἐσίγας, καὶ τὸ σιγᾶν
σε δοκεῖν λογικὸν ὑπέκλεπτεν εἶναι. νῦν δ' ἀξιώσει τινὸς ὑπαχθεὶς παρὰ σὲ
φοιτῶντος καὶ ἴσως ἐξεταστικοῦ τὰ ἐς λόγους, ἵνα τις ἐκείνῳ εἶναι φανῇς
τῆς σῆς ἀπόζοντι καὶ γευομένῳ τρυγός. νῦν δῆτα πρῶτον ἐς ἅμιλλαν λόγων
καθεὶς ἑαυτὸν πάνυ τοι ὀλίγον ἠλέγχθης ἢ μηδ' ὁτιοῦν ἐπιστάμενος.

4 Τὸ γὰρ δὴ ἀξίωμά σου ἐκεῖνο, ὅπερ ἀεὶ ἀξιοῖ, διὸ ὑπάρχει ἕκαστον,
D 135 ἐκεῖνο μᾶλλον ὑπάρχει, οὐκ ἐν τῇδε τῇ ὑποθέσει ἡμῶν ἀληθεύει, φίλε Θεόδωρε.
F 75 ὅτι δ' οὐκ ἀληθεύει, δῆλον ἐκεῖθεν. ἐκεῖνο λέγεται εἶναι οὑτινοσοῦν αἴτιον,
ὃ ἂν ἁπλοῦν ἢ σύνθετον ὂν ἑτέρου τοῦ ἁπλοῦ ἢ ξυνθέτου αἴτιον ᾖ, οἷον τὸ
ὑπερούσιον καὶ ἄκρον ἀγαθόν, ὁ θεός, τὰ νοητὰ παρήγαγε πάντα. διὸ καὶ
I 3ᵛ δικαίως ἂν λέγοιτο ταῦτα δι' ἐκεῖνον ὑπάρχειν, καὶ τὸν Ὀδυσσέα δέ φαμεν
τοῦ Τηλεμάχου αἴτιον εἶναι καὶ ἄλλον ἄλλου καὶ ἕτερον ὁτιοῦν ἑτέρου τῶν
κατὰ γένεσιν. ὅθεν δικαίως ἂν τὰ τοιαῦτα λέγοιτο δι' ἐκεῖνα εἶναι, ἐκεῖθεν
ἔχοντα τὴν ἀρχήν. ἐπὶ μὲν οὖν τῶν τοιούτων εἶχεν ἂν ὀρθῶς καὶ τὸ σὸν ἀξίωμα
λέγεσθαι, ἐπὶ δὲ ἀχωρίστων συνθέτων σφόδρα ἂν ἔχοι φαύλως καὶ ἀμαθῶς.
L 93 ἅπαν γὰρ σύνθετον ἐκ δύο μερῶν τοὐλάχιστον σύγκειται. τὰ δὲ καθ' ἕκαστα

---

2 τοῦ LFDPI] Mn *om.* | λόγους θεοῦ LFDPI λόγου καὶ θεοῦ Mn | 4 ὑμεῖς LPIMn ἡμεῖς FD | 8 τό γε LPIMn τό τε FD | 9 δεδόξασθαι FDPI δεδείξασθαι Mn | 16 τἆλλα LFPIMn ἄλλα D | τῶν LPIMn ὧν FD | 19 πείθων FD παθὼν LPIMn | 22 ὑπέκλεπτεν LFPIMn ὑπέβλεπεν D | 23 ἐξεταστικοῦ LPIMn ἐξεταστικὸν FD | 29 ὂν LFDPI] Mn *om.* | 36 τοὐλάχιστον LPI τοῦ λαχίστου Mn λάχιστον FD

14 Theodor. Adv. Plethonem n. 2, 4 *(supra p. 154, 33—155, 1)*.

Ε.Υ.Δ της Σ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῶν συγκειμένων ἐστὶν ἐκ δύο πρώτως μερῶν, τῆς τε ὕλης καὶ τοῦ εἴδους· P 179v
ἅπαν δὲ μέρος πρὸς τὸ τοῦ ὅλου ὂν ὑπάρχει παραίτιον, τὸ μὲν μᾶλλον, τὸ
δ' ἧττον. τῶν οὖν καθ' ἕκαστα μᾶλλον τὸ εἶδος αἴτιον. ὅθεν ὀρθῶς ἂν εἶχε
μᾶλλον τὰ καθ' ἕκαστα λέγειν εἶναι διὰ τὰ εἴδη ἢ ταυτὶ δι' ἐκεῖνα. καὶ οὕτως
ἔποιτο ἂν εἶναι καὶ μᾶλλον οὐσίας τὰ εἴδη. ὅτι δὲ τὸ εἶδός ἐστι τὸ μᾶλλον
αἴτιον ἐπὶ τῶν καθ' ἕκαστα, σκεπτέον ὡδί. D 135v

Ὅ τι ἕτερον ἐνεργείᾳ μὴ ὂν αὐτό τε εἰδοποιεῖ καὶ πρὸς τὸ ἐντελεχείᾳ 5
παράγει, ἐκεῖνό ἐστι πρῶτον ὂν καὶ μᾶλλον ὑπάρχον. τὰ δὲ εἴδη τὰ καθ'
ἕκαστα παράγει ἐς τὴν ἐνέργειαν, καὶ ταῦτα τὴν κατὰ μέρος. αὐτὰ γὰρ δι'
ἑαυτῶν οὐ δύναται εἶναι, μὴ ὄντων γε τῶν εἰδῶν, ὅτι μηδὲ ἡ ὕλη δύναταί F 75v
τι ποιεῖν χωρὶς τῶν εἰδῶν. τοῦ δὴ οὖν ἑπομένου ἀληθοῦς ὄντος, τὸ ἄρα λῆγον Mn 167v
ἀναγκαῖον καὶ ἀληθέστατον, οὐχ οἷον ἐκεῖνο τὸ σὸν ἐξ οὐκ εἰκότων καὶ
ἀξυμβλήτων ἄτοπα συμπεραῖνον προτάσεων, τὰ καθ' ἕκαστα λέγον εἶναι
μᾶλλον οὐσίας τῶν γενῶν τε καὶ τῶν εἰδῶν, ὅτι ταῦτα ὑπάρχει διὰ τὰ καθ'
ἕκαστα. δέον εἰπεῖν τοὐναντίον ἐκεῖνα εἶναι διὰ τὰ εἴδη. καὶ γὰρ δὴ παρα-
πλήσιόν τι φὴς οὕτω τὰς προτάσεις τιθέμενος, ὥσπερ ἂν εἴ τις ἔλεγεν ἅπαν
χρεμετιστικὸν ἵππον εἶναι ἀληθεύων, εἶτα τὸν ὄνον τοιοῦτον ψευδόμενος,
καὶ οὕτω δὴ συνεπέραινε τὸν ὄνον ἵππον ὄντα τῷ χρεμετιστικὸν εἶναι τίθεσθαι,
μὴ τοιοῦτον ὄντα τῇ ἀληθείᾳ. καὶ σὺ δὲ αὐτὸς τὰ ζητούμενα τιθεὶς ὡς ὁμολογού- I 4
μενα, μᾶλλον δὲ προτάσεις τιθέμενος, αἳ οὐδέν τι κοινὸν οὐδὲ ξυμβλητὸν
ἔχουσι πρὸς ἀλλήλας, συμπεραίνεις περιφανῶς τὰ οὐ συμπεραινόμενα. εἰπὲ D 136
πρὸς θεοῦ· πόθεν ἔμαθες λέγειν τὰ εἴδη τὸ εἶναι ἔχειν διὰ τὰ καθ' ἕκαστα,
ἀναγκαῖον ὂν τὰ καθ' ἕκαστα ὑπάρχειν διὰ τὰ εἴδη, λόγοι τοῦ θεοῦ ὄντα
καὶ νοήματα οὐσιώδη, τῶν τε κατὰ φύσιν αἰσθητῶν κατὰ γένος ὡρισμένα
τινὰ παραδείγματα, αὐτά τε πρώτως ὄντα καὶ τοῖς ἄλλοις τοῦ εἶναι παραίτια;
εἰ γὰρ φθαρείη ἂν τὰ καθ' ἕκαστα, οὐκ ἂν διαμένουσι τὰ καθόλου, δηλονότι
τὰ εἴδη τε καὶ τὰ γένη. ἐγὼ μὲν γάρ φημι παρὰ πάντας ἀνθρώπους ἄνθρωπόν P 180
τινα καθόλου νοεῖσθαί τε καὶ διαμένειν ἐν τῷ θεῷ, καὶ παρὰ πάντας ἵππους
ἵππον, καὶ κοινῶς παρὰ τὰ ζῷα ζῷον ἀγέννητόν τι καὶ ἄφθαρτον. ἐξ ὧν τὰς L 93v
ἐπιστήμας γίνεσθαι καὶ τοὺς ὅρους. σοὶ δ' οὕτω πάνυ τοι μέλει τῆς ἀληθείας,
ὥστε τοῖς ψευδέσι συναγορεύειν καὶ δοκεῖν τινα εἶναι τοῖς ἀμαθέσι σοφὸν F 76
τοῦ δίκαιον εἶναι καὶ ἀληθῆ προτετίμηκας.

Εἶτ' οὐκ αἰσχύνῃ »ἀδύνατον φάσκων τι τῶν ἄλλων εἶναι μὴ οὐ οὐσῶν 6
τῶν καθ' ἕκαστα οὐσιῶν«. ἆρ' οὐ διαμένουσιν, ὡς ἔφαμεν, τὰ καθόλου; οὐκ
εἰσιν αἱ ψυχαὶ καὶ ὅλως τὰ νοητά; ἀλλὰ γὰρ οὐδέν τι θαῦμα ἂν εἴη τὰ καθ'
ἕκαστα λέγειν μᾶλλον εἶναι οὐσίας τῶν γενῶν τε καὶ τῶν εἰδῶν, θαυμαστότερον D 136v
ὅλως ὂν αὐτόν τε οἴεσθαι τὸν δαιμόνιον καὶ ὅσοι τῷδε ξυνέπονται, τὸ εἶδος Mn 168

---

3 τῶν οὖν L Mn F P I τῶν γε οὖν D | 4 διὰ τὰ εἴδη L P I Mn] F D *om.* διὰ | 21 εἰπὲ] ἐπὲ Mn ἐπεὶ L F D P I | 22 θεοῦ L F D P θεὸν I Mn | 27 τὰ γένη L F D P] I Mn *om.* τὰ | 30 ὅρους L F D] P I Mn *om.* | 33 οὐ L P I] F D Mn *om.* | οὐσῶν L Mn F P I] D *add.* αὐτῶν | 35 οὐδέν τι L D F οὐ P I Mn

33 Theodor. Adv. Plethonem n. 2, 4 *(supra p. 154, 35)*.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῇ ὕλῃ συμφθείρεσθαι καὶ μηδὲν περαιτέρω ὑπάρχειν μετὰ τὴν τοῦ βίου
τοῦδε ἀπαλλαγήν, ὡς ἄλλοι τε πολλοὶ μαρτυροῦσι, καὶ δὴ καὶ Ἀττικὸς καὶ
Πλωτῖνος, ἔτι γε μὴν καὶ Πορφύριος ἐν τοῖς πρὸς Ἀριστοτέλη βιβλίοις
ἐντελέχειαν εἶναι φάσκοντα τὴν ψυχήν. ἀλλ' οὐχ οὕτω περὶ ψυχῆς ὁ Πλάτων
ἐφιλοσόφησεν οὔτε μὴν τῶν εἰδῶν πέρι καὶ τῶν γενῶν, ἃ δὴ ἀνώτατα τῶν
ὄντων ὑπάρχοντα, τερετίσματά τε καὶ λήρους εἰπεῖν Ἀριστοτέλης ἐτόλμησεν.
I 4v ὧν ὁ ⟨μὲν⟩ μετασχών τε καὶ ἐφικόμενος, πάντως εὐδαίμων, ὁ δ' ἀποληφθεὶς
καὶ ἀδυνατήσας θεωρὸς γενέσθαι εὐδαιμονίας ἄμοιρος καταλείπεται. ἀλλὰ
συνιδών, ὅτι οὐκ ἂν μελέσοιτό τισι γνῶσίς τινος ἀληθοῦς, οὐθ' ὡντινωνοῦν
αἰτία ἀποδοθείη καλῶς, εἰ μὴ τὰς πρώτας καὶ ἀρχικωτάτας φύσεις τὰς ἰδέας
ὁμολογήσειαν, τὴν περὶ αὐτῶν θεωρίαν καὶ ἐπιστήμην ἐπεσημήνατο, τὴν
τούτων νόησιν φήσας σοφίαν εἶναι καὶ ἐπιστήμην, δι' ἧς τὸ ἀνθρώπινον τέλος
καὶ ἡ μακαριστὴ βιωτὴ παραγίνεται. καὶ περὶ μὲν τούτων τοσαῦτα εἰρήσθω·
ἐπὶ δὲ τὰ λοιπά σοι τὸν λόγον ἰτέον.

4, 1 Λέγεις σὺ Ἀριστοτέλει συνηγορῶν »τὰ ἡμῖν γνωριμώτερα πρῶτα καὶ
D 137 κυρίως ὄντα εἶναι«. τὸ δ' οὐχ οὕτως ἔχει. ἀλλὰ τὰ τῷ νῷ γνωριμώτερα, ἐκεῖνα
F 76v μᾶλλόν ἐστι τοιαῦτα, ᾗ φησι καὶ αὐτὸς Ἀριστοτέλης ἐν φυσικῇ ἀντιφάσκειν
P 180v μὴ αἰσχυνόμενος. ἄλλως τε εἴη ἂν καὶ τὸ αὐτοαγαθόν τε καὶ αὐτοὸν καὶ
ὅσα ἄττα ἐγγυτάτω ἐστὶ τῆς θείας ἐκείνου φύσεως, μὴ ὄντα ἡμῖν κατ' αἴσθησιν
γνωριμώτερα, ἐλάττω καὶ δεύτερα τῶν γνωριμωτέρων κατ' αἴσθησιν. τούτου
δὲ μὴ οὕτω δυνατοῦ ὄντος ἔχειν ὁ ἡμέτερος λόγος χώραν ἔχων οὐκ ἔστιν.

2 Ἀλλὰ δὴ καὶ πρὸς τόδε ἀπαντητέον. »ὧν, φῄς, πρώτως τὰ συμβεβηκότα
L 94 κατηγορεῖται, ταῦτα πρότερα εἶναι καὶ κυριώτερα καὶ μᾶλλον ὄντα«, τόδ'
οὐδένα ἂν εὕροις εἰς ἔτι καὶ νῦν εὖ ἔχοντα νοῦ οὐδαμῇ ἀξιώσαντα, ψευδές
Mn 168v τε ὂν καὶ ἀμαθίας γέμον, πολλῶν τε ἄλλων ἕνεκα λόγων καὶ ὅτι εἰ, ὧν τὰ
συμβεβηκότα κατηγορεῖται, ταῦτα πρότερα ἐτύγχανεν ὄντα καὶ κυριώτερα,
ὧν ἂν οὐ κατηγορεῖται οὐδαμῇ τὰ συμβεβηκότα, ἦν ἂν ταῦτα ἐλάττους οὐσίαι
κατά γέ σε. τοῦ οὖν παμβασιλέως θεοῦ καὶ καθόλου τῶν νοητῶν οὐδὲν κατη-
γορεῖται συμβεβηκός, ἐχόντων ἃ ἔχοιεν πάντα ἐντελεχείᾳ τε ἀχωρίστῳ ἀεί
D 137v τε καὶ ὡσαύτως κατὰ τὰ αὐτά. ἐλάττους οὖν διὰ τοῦτο οὐσίαι ταῦτα τῶν
I 5 ὧν τὰ συμβεβηκότα κατηγορεῖται, εὖ γε τῆς ὑπογύου σου ἐπιστήμης. τίς
σε τοιαῦτα ἀξιοῦν ἤσκηκεν; ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον. ἐμοὶ δ' ἐς τόδε γενο-
F 77 μένου τοῦ λόγου οὐ μόνον ἀπελέγχειν τὰ παρὰ σοῦ εἰρημένα δέον ἔδοξεν εἶναι,

---

1 τὴν L Mn F P I] D *om.* | 4 φάσκοντα L F D φήσαντα P I Mn | 6 εἰπεῖν L P I Mn] F D *om.* | 7 πάντως L F D P I πάντων Mn | 7 ἀποληφθεὶς F D ἀπολειφθεὶς L P I Mn | 9 μελέσοιτο Mn μετέσοι τὸ F D μετέσοιτο L P I | 13 παραγίνεται L F D I παραγίνεσθαι I Mn | 18 αὐτοαγαθόν L Mn αὐτὸ ἀγαθόν F D | αὐτοόν L P I Mn αὐτὸ ὂν F D | 20 κατ' αἴσθησιν L F D P] I Mn *om.* κατ' | 24 οὐδένα L F P I Mn οὐδὲν D | ἂν εὕροις L F P I Mn ἂν ἄλλο εὕροις D | 29 ἀεί τε L F D καὶ ἀεὶ P I Mn | 30 οὐσίαι L οὐσίας F D οὐσία Mn | 31 σου L F D P I σοι Mn | 32 γενομένου P I Mn γενομένῳ L F D

15 Theodor. Adv. Plethonem n. 2, 4 *(supra p. 154, 36)*. | 22 Theodor. Adv. Plethonem *(supra p. 155, 7 sq.)*.

Ε.Υ.Π. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀλλὰ καὶ τοὺς τὰ εἴδη τιθεμένους ὑφεστηκέναι καὶ πρώτας εἶναι οὐσίας
παραμυθήσασθαι δι' ὅσων ἡμῖν εἰπεῖν δυνατῶν.

Πρῶτα μὲν δὴ οὕτω φαμέν· 5, 1

Ἅπαν γενητόν ἐστιν ἀπ' ἀρχῆς αὐτῷ ὁμοίας τῷ εἴδει. τῶν δὲ γενητῶν
τὰ πολλὰ ἀπὸ σήψεως γεννᾶται τῆς γῆς οὐχ ὁμοίας οὔσης αὐτοῖς. ἐκεῖν'
ἄρα γεννᾶται ἐκ τῶν εἰδῶν ὄντων αὐτοῖς ὁμοίων τῷ εἴδει. P 181

Ἔτι πᾶσα γνῶσίς ἐστι περὶ τῶν ἀφθάρτων, ἀναγκαίων ὄντων τῷ μὴ 2
δύνασθαι ἄλλως ἔχειν. τὰ δὲ φυσικὰ πάντα ἐστὶ φθαρτὰ καὶ μεταβλητά,
συμβεβηκότα ὄντα τῷ ἄλλως ἔχειν δύνασθαι. ἡ γνῶσις ἄρα οὐκ ἔσται περὶ
τῶν φυσικῶν καὶ φθαρτῶν, ἀλλὰ τῶν ἀφθάρτων πέρι. ἅπερ εἰσὶν αἱ ἰδέαι.

Καὶ μὴν καὶ τὸ ἐπὶ πλέον ἅπαν οὐκ ἀντιστρέφει διὰ τὸ τῶν οὐκ ἀντιστρε- 3
φομένων τὸ ἕτερον πλείω περιέχειν καθολικώτερον ὄν. τὰ δὲ γένη καὶ τὰ
εἴδη τῶν ἐπὶ πλέον ὄντα καὶ καθολικώτερα περιέχει τὰ καθ' ἕκαστα ἐλάττω D 138
ὄντα καὶ μερικώτερα. τὰ ἄρα εἴδη πρῶτα καὶ κυριώτερα τῶν καθ' ἕκαστα.

Καὶ μὲν δὴ τὰ εἴδη τῶν κατὰ φύσιν εἶναι ὁρίζονται αἰώνια παραδείγ- 4
ματα. τὸ δ' ὂν αἰωνίως ὑφέστηκε. πᾶν δὲ τὸ ὑφεστηκὸς παράδειγμα καὶ αἰώνιον L 94v
πρῶτον καὶ μᾶλλον ὂν τῶν εἰκόνων οὐκ ἀϊδίων οὐσῶν, ἀλλὰ γιγνομένων καὶ
φθειρομένων. τῶν τοίνυν καθ' ἕκαστα μᾶλλον οὐσίαι τὰ εἴδη.

Καὶ τὸ ἀεὶ δὲ ὂν τοῦ παρὰ μέρος ὄντος μᾶλλον ὑπάρχον. τὸ οὖν εἶδος 5
ἀεὶ ὂν τυγχάνει. τὰ δὲ καθ' ἕκαστα φθείρεται παρὰ μέρος, καὶ αὐτῶν ἡ παρὰ F 77v Mn 169
μέρος ἐνέργεια. δῆλον ἄρα τὸ λῆγον.

Ἀλλὰ μὴν καὶ τὸ γινόμενον ἅπαν τέτρασιν αἰτίοις γίγνεσθαι πέφυκε, 6
ποιητικῷ αἰτίῳ πρώτως, εἰδικῷ ἑπομένως, ὑλικῷ ἀκολούθως, τελικῷ ἐφεξῆς.
τὰ δὴ οὖν καθ' ἕκαστα τῶν γινομένων εἶναι λέγεται — γίγνεται δὲ ἐξ ὧν ἔφαμεν —
ὕστερα ὄντα πρώτων ὄντων, καὶ ἔτι τοῦ εἴδους πρώτου γε ὄντος τῆς ὕλης, I 5v
καθ' ὁποτερονοῦν ἂν εἴποις σημαινόμενον τοῦ προτέρου. δῆλον ἄρα τὸ λῆγον.

Ἔτι γε μὴν δυοῖν τούτοιν ὄντοιν νοῦ καὶ αἰσθήσεως τὸν νοῦν ἅπας ὁ 7
τῶν φιλοσόφων δῆμός φασι πρῶτον εἶναι καὶ κυριώτερον καὶ μᾶλλον ὄν,
καθότι ὁ μὲν ἀεὶ ὢν τήν τε τῶν νοητῶν πάντων καὶ τῶν αἰσθητῶν κατάληψιν D 138v P 181v
ἔχει, ἡ δὲ τῶν αἰσθητῶν μόνων θνητὴ οὖσα θνητῶν ὄντων. ὅσῳ τοίνυν τὸ
νοητὸν τοῦ αἰσθητοῦ κυριώτερον, καὶ αὖ πάλιν τοῦ αἰσθάνεσθαι τὸ νοεῖν,
τοσούτῳ καὶ τὰ εἴδη συγγενῆ αὐτῷ ὄντα πρῶτα καὶ κυριώτερα τῶν καθ'
ἕκαστα αἰσθητῶν καὶ μεταβλητῶν ὑπαρχόντων.

Τί δὴ λοιπόν σοι τοῦ λόγου, ὅτι »Πλήθων εὖ μάλα εἰδώς«, οὐ συγχωροίη 6, 1
τἀνδρὶ φάσκων »μὴ τὸ μέρος τοῦ ὅλου, ἀλλὰ τὸ ὅλον τοῦ μέρους μεῖζον«;

---

1 τοὺς L P F D] I Mn *om.* | 7 ἀναγκαίων L P I Mn ἀναγκαῖον F D | 11 ἀντιστρέφει L F D P I ἀντιστρέφου Mn | 12 καθολικώτερον ὂν L *om.* | 12—13 καθολικώτερον . . . ὄντα καὶ F D P] I Mn *om.* | 14 τῶν καθ' ἕκαστα L F D P I τὰ καθ' ἕκαστα Mn | 16 αἰωνίως L F D P αἰνίως I M | 17—18 οὐκ ἀϊδίων . . . φθειρομένων L F D P I] Mn *om.* | 20 ἡ παρὰ L F P I Mn] D *om.* ἡ | 23 εἰδικῷ L F D εἰδικῶς P I Mn | 26 εἴποις F D P I εἴπῃς L Mn | 28 φασι L F P I D φησι Mn

34 **Theodor. Adv. Plethonem** n. 2, 5 *(supra p. 155, 12 sq.).*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οἰόμενος δὲ τοῦτο μεμαθηκέναι »διαφορώτερον εἰς σοφίαν ἢ κατὰ τὴν Ἀρι-
στοτέλους ἐπιστήμην, ὧδε λέγει· ἡμεῖς δ' οὔποτε τοῦ κατὰ μέρος ἧττον τὸ
καθόλου φήσομεν, ἕως μὴ μέρος τοῦ ὅλου, ἀλλὰ τὸ ὅλον τοῦ μέρους μεῖζον ᾖ.«

2 Πάνυ τοι ὀρθῶς φάσκει καὶ τῇ τοῦ Πλάτωνος ἀξίως καὶ ἑαυτοῦ ἐπιστήμῃ.
F 78 εὖ γε, ὦ Πλήθων, ὡς ἄμαχός σοι ὁ λόγος καὶ τῆς Ἀριστοτέλους σοφίας
πολλῷ τῷ μέσῳ προέχων. εἰ γὰρ Πλάτων μὲν Ἀριστοτέλους πᾶσι τοῖς παλαιοῖς
καὶ προτιμώτερος καὶ σοφώτερος, σὺ δὲ τοιοῦτος ὢν τοῖς ἐκείνου λόγοις
σύστοιχος φαίνοιο, σκοπεῖν ἔξεστιν, ἡλίκος ἂν εἴης Πλήθων, ὅθεν καὶ τοῖς
L 95 ψευδέσι καὶ ἀξυμβλήτοις τῶν Ἀριστοτέλους λόγων μαχόμενος, κρείττων τοῖς
D 139 Mn 169v Πλάτωνι τιθεμένοις ἐς τάδε Ἀριστοτέλους κρίσει δικαίᾳ νενόμισαι. ποῖον
γὰρ ἄλλο τουτουῒ τοῦ ἀξιώματος ἀληθέστερον ἢ σοφώτερον· τοῦ γὰρ μέρους
I 6 τὸ ὅλον μεῖζον, καὶ οὕτω τὰ εἴδη τε καὶ τὰ γένη τῶν καθ' ἕκαστα μεῖζον
οὐσία ἢ μᾶλλον; οὐ γὰρ διαφέρετον τὼ ὀνόματε, ὁποτέρως ἄν τις βούλοιτο,
λεγομένω τοῖς τε ἄλλοις λόγοις, οἷς ἔφαμεν μικρῷ πρόσθεν, καὶ τῷ καθόλου
εἶναι. εἶτα »τὸ καθόλου τιθέμενος μεῖζον εἶναι τοῦ κατὰ μέρος«, ἔτι φησὶν
οὐκ αἰδούμενος »τὰ καθ' ἕκαστα μᾶλλον εἶναι οὐσίας τῶν εἰδῶν τε καὶ τῶν
γενῶν«, ὅτι τὸ μεῖζον καὶ μᾶλλον πρὸς ἄλληλα διαφέρετον. τὸ μὲν γάρ φησι
περὶ μέγεθος, τὸ δὲ θεωρεῖσθαι περὶ οὐσίαν. ὅ γε Πλήθωνα μὴ εἰδότα οἴεσθαι
»μᾶλλον οὐσίας εἶναι τὰ καθόλου τῷ μείζω εἶναι«.

3 Ἐξ ὧν σὺ ταῦτ' ἔμαθες λέγειν τὰ δεξιά, οὐδ' ἐμὲ λελήθασιν, ὦ δαιμόνιε.
P 182 ἐκεῖνοι γάρ εἰσιν οὗτοι, οἱ τῶν νῦν ὄντων Ἑλλήνων οὐ μόνον οἴονται σοφώτεροι
γεγονέναι, ἀλλὰ καὶ Σωκράτους αὐτοῦ καὶ Πυθαγόρου καὶ Πλάτωνος. ὧν,
F 78v οὐχ ὅπως τι λέγοιεν, οὐκ ἴσασι τὰ συγγράμματα, ἀλλ' οὐδ' ὀρθῶς πω ἔχουσιν
αὐτὰ μετιέναι, ἐκ παίδων ἐς γέροντας ἀεὶ ψελλίζοντες ἀφικόμενοι, διεντερευμά-
D 139v των μέντοι γε καινοτέρων δεξιοὶ καὶ λίαν συγκολληταί. τίνα γὰρ ἢ τῶν παρ'
Ἕλλησιν ἐπὶ σοφίᾳ βεβοημένων ἢ τῶν γραμματικὴν μετιόντων, γενναίων
κἀκείνων ἀνδρῶν καὶ οὐδ' ἀμοίρων φιλοσοφίας, τὸ μᾶλλον καὶ μεῖζον διαφέρειν
λέγειν πεφώρακας; καὶ μὴν οὐδ' αὐτόν γε ἂν εὕροις Ἀριστοτέλη οὐδαμοῦ
τῶν βιβλίων τὸ μὲν μεῖζον περὶ τὸ μέγεθος ἐκλαμβάνειν ἀεί, τὸ δὲ μᾶλλον
περὶ οὐσίαν. τοὐναντίον μὲν οὖν, ἢ ὅπως ἂν τύχοι, καὶ λίαν εὑρεῖν ἐκλαμβάνοντα
εὐπετές. οὗ γε πολλά τε ἂν ἐν πολλοῖς καὶ ἄλλων οὐκ ὀλίγων ἐς μαρτυρίαν
τῷ λόγῳ τουτῳῒ παραθείην, εἰ μὴ δεικνύειν μάταιον ἦν τὰ δῆλα γνῶναι καὶ
τῷ τυφλῷ. σὺ δ' ᾧ μέλει γε τουτουΐ, μέτιθι τὰ αὐτοῦ καί, εἰ μὴ λέγοιμι ἀληθῆ,
οἷον ἄν με βούλοιο κάλει. εἶτ', ὠγαθέ, τοσοῦτον ἀφραίνεις, ὥστε τοιαῦτα
I 6v εἰδέναι τὸν Πλήθωνα οἴεσθαι, οἷα οὐδεὶς τῶν Ἑλλήνων, οὔτε τῶν παλαιοτέρων
Mn 170 οὔτε τῶν νεωτέρων, οὔτ' εἶπεν οὔτ' ἤκουσε σοῦ χωρὶς καὶ ταῦτα τοιούτου.
L 95v ὃ γὰρ οὔτ' ἔστιν οὔτε τις εἶπε τῶν ἡμετέρων, πῶς ἄν τις γνοίη; καὶ δὴ καὶ

5 γε L P I Mn] F D *om.* | 7 προτιμώτερος L F D προτιμότερος P I Mn | 11 τουτουῒ L F D τουτωνὶ I P Mn | 12 τε L F D] Mn P I *om.* | μεῖζον F D με ζων L P I Mn | 23 πω F D P] I Mn *om.* | 33 αὐτοῦ L F D P *(cf. infra p. 199, 4)* αὐτὰ I Mn | 35 οἴεσθαι L F D οἴει P I Mn

1 Pleth. De diff. c. 4. *cit. apud* Theodor. Adv. Plethonem n. 3, 1 *(supra p. 155, 14—17)*. | 15 Theodor. Adv. Plethonem n. 3, 2 *(supra p. 155, 20—25)*.

Ε.Υ.Δ. ΦΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ σοφόν σοι τοῦτο καὶ ἀρτιγενὲς μὴ ὂν πρότερον εἰκότως Πλήθωνα ἐλελήθει.
νῦν ἀληθῆ λέγεις ἀεὶ ψευδόμενος πρότερον. ἐπεί γέ σοι καὶ τοῦτο μετὰ τῶν D 140
ἄλλων ἠσκήθη καὶ μεταδέδοται οὐκ ὀλίγοις τὸ νεογνόν, δεῦρο δὴ καὶ ἡμεῖς
βασανίσαντες ἴδωμεν, πότερον ἂν εἴη ψεύδους ἢ ἀληθείας ἐχόμενον.

Ἡμεῖς φαμεν, θαυμασιώτατε ἄνθρωπε, παῖδες Ἑλλήνων εἶναι αὐχώ- 4
μενοι κἀκείνων τοῖς ἴχνεσιν, οὐχ ἑτέρων ἑπόμενοι, τὸ μᾶλλον καὶ μεῖζον εἶναι F 79
συγκρίσεως. ἡ δὲ σύγκρισις περί τε τὴν οὐσίαν ἐστὶ καὶ τὸ μέγεθος καὶ τἆλλα
τὰ τοιουτότροπα. ἑκατέρῳ ἄρα τῷ ὀνόματε οὐδὲν διαφέρετον ἐπὶ πάντων
λέγεσθαι τῶν τοιούτων. εἰ δὲ τὸ ποσὸν ἐν μεγέθει κἀν τῇ οὐσίᾳ, τὸ δὲ μᾶλλον P 182v
καὶ μεῖζον, ἧττόν τε καὶ μεῖον, τὸ ποσὸν συγκρίνει καὶ τὸ ποιόν, τί κωλύει τὸ
μεῖζον ἐπὶ μεγέθους λεγόμενον μὴ καὶ ἐπὶ οὐσίας λέγεσθαι, καὶ αὖ πάλιν
τὸ μᾶλλον ἐπὶ οὐσίας μὴ καὶ ἐπὶ μεγέθους, τῆς αὐτῆς ἑκατέρῳ ὄντε δυνάμεως;
ἐγὼ μὲν οὐχ ὁρῶ· σὺ δ' ἀμαθῶς καὶ ἅμα κακοήθως μηδὲν ἀναγκαῖον δεικνὺς
ὅμως γε ἀξιοῖς. εἰ γάρ τις εἰπὼν μέγεθος μεγέθους καὶ ποσὸν ποσοῦ καὶ
οὐσίαν εἶναι μᾶλλον ἄλλης οὐσίας, ἔπειτα τὸ μεῖζον προσθείς, ὑφελὼν τὸ μᾶλλον,
εἴποι ἂν μείζω οὐσίαν εἶναι ἄλλης οὐσίας καὶ μέγεθος μεγέθους καὶ ποσοῦ
ποσόν, ὁ τοιοῦτος δοκεῖ σοι ἂν ἁμαρτάνειν. ἐμοὶ μὲν οὔ. τῷ λόγῳ οὐκ ἔστι. D 140v
σοὶ δὲ γραμματικῆς ἐπιμελουμένῳ καὶ πολλὰ περὶ αὐτῆς ἀπέραντα μέν, μηδὲν
δὲ δυνάμενα ὠφελῆσαι τοὺς περὶ ταῦτα σχολάζοντας πεπονηκότι ἔδοξε πρὸς
τοῖς ἄλλοις σου ματαίοις καὶ τὸ μᾶλλόν τε καὶ μεῖζον, τῆς αὐτῆς δυνάμεως I 7
ὄντε, αὐτώ τε διαφέρειν καὶ ἐν διαφόροις πράγμασι μὴ δυναμένω λέγεσθαι.
ὡς ἄν τι καινότερον εὑρηκὼς διεντέρευμα, ὃ τοῖς παλαιοῖς κατὰ νοῦν οὐκ
ἐπῄει, δόξης τοῖς κατὰ σὲ ἀνοήτοις, λέγων εὖ εἰδώς, τὸν δοξομανῆ κἀν τούτῳ
Ἀριστοτέλη μιμούμενος.

Ἡμῖν μὲν δὴ ὅσα δυνατὰ ἦν περὶ οὐσίας εἰπεῖν ὑπεραπολογουμένοις τοῦ 7.
Πλήθωνος εἴρηται ἱκανὰ καὶ διὰ βραχέων, ἵνα καὶ ἐκ τῶν καιρῶν τοῖς τοιούτοις F 79v
τὴν προσήκουσαν ξυμμαχίαν ἀπονενεμηκότες τἀνδρὶ εἴημεν ἂν τὰ τῶν ἀγαθῶν Mn 170v L 96
παίδων ἐς πατέρα πεποιηκότες. ὅσα δέ σοι ἀπεραντολογοῦντι εἴρηται ἐφεξῆς,
οὐδέν τι ἀναγκαῖον οὐδ' ἄξιον λόγου ἀποδεικνύοντι, ἀλλ' ἢ τὰ αὐτὰ λέγοντι
ἀεὶ περὶ τῶν αὐτῶν, τὰ πλείω δὲ καὶ τιθεμένῳ τῷ Πλήθωνι, ταῦτα οὐδὲ D 141
λόγου τυχεῖν ἠξιώσαμεν, μελιταίου κυνιδίου ὡς ὑλακὴν λογισάμενοι, ἵνα μὴ
καὶ αὐτοὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἀεὶ λέγοντες ἀνόητοι φανῶμεν ὡς σὺ
καὶ ἀπεραντολόγοι τοῖς σώφροσιν. ἱκανὰ μέντοι σου καὶ ταῦτα περιτρέψαι
τὸ φρόνημα. ἃ μετιὼν ἀγνοίης δίκαιον ὄντα σε σιωπᾶν, ὡς μόλις ἑαυτὸν P 183
ἐπαινέσομεν γνόντα. εἰ δὲ καὶ μετὰ ταῦτα ἔτι μενεῖς τῇ ἰδίᾳ συνηγορῶν ἀφρο-
σύνῃ, ἡμεῖς μὲν δικαίως ἂν σιωπήσομεν, ἄλλοις δ' ἐκεῖνα ἐλέγξαι παραχωρήσο-
μεν, οἳ τά γε εἰς πᾶσαν σοφίαν κρείττους ἡμῶν καὶ ὀξύτεροι τὴν διάνοιαν.

---

2 ἐπεὶ L F D πλὴν ἐπεὶ P I Mn | γε F D P I δὲ L | 4 ψεύδους L F D P I ψεῦδος Mn | 10 καὶ μεῖζον L F D P] I Mn *om.* | 12 ὄντε L F D P I ὄντες Mn | 14 M *trp.* ποσὸν ποσοῦ | 17 σοι F P I Mn] D *om.* | 20 τε F D] I Mn *om.* | 23 τοῖς P I] τῆς L | 27 εἴημεν L F D P I εἴη μὲν Mn | 30 οὐδὲ L F D οὐ P I Mn | 32 φανῶμεν Mn φανεῖμεν L F D P I | 33 περιτρέψαι τὸ L P I Mn περιτρέψαιτο F D | 35 συνηγορῶν L F D P I συνηγορίᾳ Mn

ΙΩΑΝΝΙΝΑ 2006

## ANDRONICI CALLISTI
## DEFENSIO THEODORI GAZAE
## ADVERSUS MICHAELEM APOSTOLIUM.

Mit dieser Schrift griff Andronikos Kallistos gegen die vorhergegangene Verunglimpfung Theodors durch Michael Apostolios ein. Die bisher noch ungedruckte Erörterung hat bei neueren Forschern, die offensichtlich nur oberflächliche Auszüge kannten, eine weit auseinander gehende Beurteilung erfahren. L. Stein rühmte sie, weil Andronikos damit „die Debatte aus dem Schlamm der persönlichen Invektive hinaushob in die Bahn rein sachlicher, streng philosophischer Polemik".[1] A. Gercke nannte sie ein „Pamphlet voll Schmähungen schlimmster Sorte".[2] Tatsächlich suchte Andronikos in den Sachverhalt philosophisch einzudringen und sagte dabei das Nötige zur Ehrenrettung des Theodoros Gazes. Daß er neben den sachlichen philosophischen Erörterungen es auch an recht groben Ausfällen gegen den wenig geschickten Michael Apostolios nicht hat fehlen lassen, gehört zum Stil der humanistischen Fehdeschrift. Bessarion nahm die Schrift mit Wohlwollen an; das besagen seine Briefe an Nikolaus Sekundinos und an Andronikos vom 19. Mai und 5. Juni 1462. Dem Michael gebot er Schweigen.[3]

Andronikos' Verteidigungsschrift, die ich hier erstmals veröffentliche, liegt in folgenden Handschriften vor:

a) Florenz, Bibl. Med.-Laur. Plut. 58 cod. gr. 33. fol. $96^{v}$—$117^{v}$ = L.
b) Mailand, Bibl. Ambr. B 141 sup. fol. 5—$28^{v}$ = B.

**L** (Cod. chart. 26,7 × 20,5 cm, 157 fol. XV saec. vgl. oben S. 159) bietet einen sorgfältig geschriebenen Text, der in den meisten Fällen (etwa 90 mal) besser ist als bei **B** (vgl. oben S. 151). Einzelne Fehler lassen sich nach B leicht verbessern. Die minder gute Beschaffenheit des B besteht aber nicht allein in den gekennzeichneten fehlerhaften Stellen, sondern auch in Auslassungen, sei es daß einzelne Wörter fehlen oder halbe Sätze (3 mal). Sicher stammt B nicht aus L; denn wie sollte B zu einzelnen richtigeren Lesarten und Ergänzungen offensichtlicher Auslassungen bei L (z. B. ὁ Θεόδωρος, S. 183, 10) gekommen sein?

---

[1] Archiv für Geschichte der Philosophie II, Berlin 1889, 452.
[2] A. Gercke, Theodoros Gazes, Greifswald 1903, 45 n. 1.
[3] Bessarions Briefe nn. 50, 51.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Ἀνδρονίκου τοῦ Καλλίστου
## Πρὸς τὰς Μιχαήλου Ἀποστόλου
## Κατὰ Θεόδωρον ἀντιλήψεις.

Τῷ δεσπότῃ Βησσαρίωνι Ἀνδρόνικος εὐτυχῶς χαιρῶ. B 4v

Ἐμοὶ μέν, ὦ σοφώτατε δέσποτα, περιέλκειν σε νῦν ἀπὸ τῶν ὑψηλοτάτων 1, 1 L 96v
θεωριῶν οὐρανοῦ τε ὑπεραστρονομοῦντα καὶ πρὸς αὐτὸ τὸ ἄκρον τῶν ἀγαθῶν ἐν ἠρεμίᾳ μεγίστῃ ἀνατεινόμενον κἀκεῖνο περιχορεύοντα καὶ νοητῶς συναπτόμενον τῷ πάντων τῶν ὄντων ἐπέκεινα καὶ εἰς ὑποθέσεις λογικωτέρας κατάγειν B 5
καὶ τῆς σῆς ἀμηγέπῃ οὐκ ἀξίας μεγαλονοίας οὐκ ἐδόκει δίκαιον εἶναι. ἐπεὶ δὲ Μιχαῆλος πρόφασιν μὲν Πλήθωνι καὶ τῇ ἀληθείᾳ συνηγορῶν, ἧς οὐδὲν αὐτῷ οὐδέποτ᾽ ἐμέλησε, τῇ δὲ ἀληθείᾳ Θεοδώρῳ βασκαίνων καὶ λοιδορήσασθαι θέλων ἀδίκων τἀνδρί, εὖ παθὼν ὑπ᾽ αὐτοῦ τε καὶ ὑπ᾽ ἐμοῦ, ἠδικημένος δ᾽ οὐδ᾽ ὁπωστιοῦν, βιβλίον συνέγραψε κατ᾽ αὐτοῦ λοιδοριῶν τε καὶ ἀμαθίας μεστόν — σοί φησι χαριζόμενος· παρενθήκη δ᾽ αὐτῷ Ἀριστοτέλης τε καὶ Λατῖνοι γεγένηνται — ἀνέχεσθαί γε, σιωπᾶν ἔτι καὶ τουτονὶ μὲν τὸν τελχῖνα οὕτω τοι μεγάλα κομπάζοντα καὶ τὰς ὀφρῦς ἐᾶν ἀνασπῶντα, Θεόδωρον δὲ περιορᾶν τὰ μέγιστα ἀδικούμενον καὶ μὴ τὰ δυνατὰ αὐτῷ τε καὶ τῇ ἀληθείᾳ συνειπεῖν, κἀκεῖνον διελέγξαι ἀμαθῆ τε καὶ ψευδόμενον καὶ μηδ᾽ ὁτιοῦν ὑγιὲς εἰρηκότα οὐ σώζοντος δήπου οὐδὲ τιμῶντος ἦν τὰ γινόμενα τῶν ὑπ᾽ αὐτοῦ προπηλακισθέντων οὐδέσι, καὶ πρό γε πάντων τῇ ἀληθείᾳ, ὅπου γ᾽ ἐπὶ σωτηρίᾳ ταύτης καὶ τὰ οἰκεῖα δεῖν ἀναιρεῖν Ἀριστοτέλης παρακελεύεται.

Σὲ δ᾽ ἔγωγε εὖ οἶδα, δικαιότατε δέσποτα, οὔθ᾽ ἁπλῶς οὕτω τῶν Πλάτωνι 2
προκειμένων ἀποδεχόμενον, ἢν μὴ καὶ τὸ ἀληθὲς λέγωσιν, οὔτε μὴν τοὺς Ἀριστοτέλει τιθεμένους ῥᾳδίως οὑτωσὶ παραιτούμενον, ἕως ἂν καὶ παρ᾽ ἐκείνοις τὸ ἀληθὲς πρεσβεύηται. Μιχαῆλόν τέ μοι καὶ πάνυ δοκεῖς τοὐναντίον, ἢ αὐτὸς ἀξιοῖ, οὔθ᾽ ἡδέως προσήσεσθαι οὔτε τοῖς αὐτοῦ λόγοις παρὰ τὸ δίκαιον Πλήθωνος χάριν προσθήσεσθαι, ἢν παρὰ τὸ ἀληθὲς καὶ τὸ πρέπον δόξῃ ληρεῖν, ἐμέ τε αὖ οὐκ ἀηδῶς ἀποπέμψειν, ἢν συνηγορῶν Θεοδώρῳ δόξω τι ἀντιλέγειν τῷ Πλήθωνι· ἀνάξια γὰρ ταύτῃ τοῦ δικαιοτάτου σου ἤθους. ἀλλ᾽ ὡς ὅσιον ἁπανταχοῦ νομίζων τὸ προτιμᾶν τὴν ἀλήθειαν, τἆλλα πάντα παρείς, οἷς ἂν ἑκάτερος ἡμῶν ἑαυτὸν συνιστάναι οἷός τε ἦν ἄμφω μετιὼν τὼ βιβλίω, ψῆφον οἴσεις φιλοσοφίᾳ τε καὶ τῷ σῷ προσήκουσαν ἀξιώματι. B 5v

Μιχαῆλος. »Ἔδει σε Πλήθωνος ἔν τε ἄλλοις αὐτοῦ κἂν τῷ περὶ οὐσίας 2, 1 L 97
Ἀριστοτέλη εὐθύνοντος σιωπᾶν.«

---

29 ταύτῃ] L *add.* πάντῃ | 31 ἑαυτὸν L] B *om.* | 33 Μιχαῆλος B] L *om.* | Ἔδει B δεῖ L

33 Mich. Ap. Obiect. c. 1, 2 *(supra p. 161, 29 sq.)*.

Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

2 Ἀνδρόνικος. Σὲ μᾶλλον σιωπᾶν ἔδει τοιοῦτον ὄντα καὶ μὴ εὐήθως οὑτωσὶ σαυτῷ θαρρήσαντα Πλήθωνι μὲν συνηγορεῖν ὑποστῆναι, Θεοδώρῳ δὲ ἀντιλέγειν πειρᾶσθαι. τῷ μὲν γὰρ οὐκ ἀπεριμερίμνως, ὡς αὐτὸς φής, ἀλλὰ καὶ λίαν ἐπιστημόνως καὶ ἑαυτῷ προσηκόντως Ἀριστοτέλει τε συνηγορεῖν ἑλομένῳ καὶ τοῖς ἡττηκόσιν ἑταίροις χαρίζεσθαι εὖ μάλα τεθάρρηται, ὡς οὔτε δέον ὂν τὸν οἰκεῖον προστάτην ὑφ' ὁτουοῦν προπηλακιζόμενον προέσθαι μαλακισθέντι καὶ ἅμα ἑαυτὸν οὐκ ἀπαξιοῦντι μὴ οὐχ οἷόν τε εἶναι, περί τε τοῦ προτεθέντος λόγον ὑπέχειν καὶ Πλήθωνα ῥᾷστα εὐθύνειν τε καὶ διελέγχειν πρὸς Ἀριστοτέλη νεανιευόμενον.

3 Καὶ δὴ καὶ ἐξήλεγξε κάλλιστά τε καὶ διαλεκτικώτατα, ὥσπερ προείρηται. σοὶ δὲ μηδὲν μὲν εἰδότι, πάντα δὲ οἰομένῳ εἰδέναι καὶ διὰ τοῦτο ῥᾷστα μηδενὶ ξυννῷ σαυτὸν εἰς τοιαύτας ἀγωνίας καθιέντι καὶ κενῆς τὰ μάλιστα δόξης ἐφιεμένῳ καὶ ταύτην σαυτῷ προσποιῆσαι πάνυ φαύλως πεισθέντι, ἣν ὑπὸ σχήματι τοῦ συναίρεσθαι Πλήθωνι ἀντειπὼν Θεοδώρῳ καὶ κολούσας αὐτόν, ἄνδρα ἐπὶ σοφίᾳ νῦν περιβόητον ἐν ἑκατέρᾳ τῇ φωνῇ, δόξης εἶναί τι μηδὲν ὤν, τοιούτοις ἀνδράσιν ἀπομαχόμενος, εὐήθως πάνυ καὶ ἐπὶ τῷ γε σῷ κακῷ, πείσθητί μοι, τετόλμηται, ἐφ' οἷς Πλήθωνι μὲν κινδυνεύοντι βοηθεῖν, Θεοδώρῳ δὲ ἀντιλέγειν προείλου μέν, φαίνῃ δὲ μηδέν τι προὔργου τὸ παράπαν διηνυκώς. Πλήθωνά τε γὰρ οὐκ ὤνησας οὐδ' ὁπωστιοῦν, ᾧ συναγορεύειν ὑπέστης. ὅπου γε καὶ καταβάλλων αὐτὸν ὑπ' ἀβελτηρίας ἁλίσκῃ συχνά, τὴν ἀρχὴν μηδὲ τὴν διαφορὰν ξυνιείς, καθ' ἣν αὐτὸς πρὸς Ἀριστοτέλη περὶ οὐσίας διαφέρεται, ὡς προϊόντος ἐλεγχθήσῃ τοῦ λόγου.

4 Πῶς γὰρ ἄν σοι καὶ ἐξεγένετο τῶν Πλάτωνος καὶ Ἀριστοτέλους καὶ B 6 τῶν αὐτοῖς ἑπομένων δοξῶν ἐπιβόλῳ καὶ ὁπωσοῦν εἶναι, ὅς γε Ἀριστοτέλους μὲν ὑπὸ βλακείας καὶ βραδυτῆτος νοῦ οὐδὲ μικρὸν γοῦν συνῆκας, τοῖς Πλάτωνος L 97v δὲ οὐδ' ἐνέτυχες οὐδ' ὁπωστιοῦν; ἐκείνῳ τε οὖν ξυνήνεγκες τουτί σου τὸ σύγγραμμα. αὐτός τε οὐκ ὤνησο οὐδ' ἤρθης ὥσπερ ᾤου, ἀλλὰ καὶ κεῖσαι καταπεπτωκὼς πτῶμα γέλωτος ἄξιον, ἀποτυχὼν τῆς ἧς ἐν ἐλπίδι δόξης ἐτύγχανες ὤν. Θεόδωρόν τε οὐκ ἐκόλουσας πολλὰ καὶ ταῦτα καμών, οὐ μᾶλλον ἢ Θερσίτης Ἀχιλλέα κολούειν ἐπιχειρῶν. γέλωτα δὲ πλατὺν παρὰ τοῖς ἐντυγχάνουσιν ὦφλές τε ἤδη ἀσχημονῶν, ἐφ' οἷς τὸ τῆς παροιμίας ὗς πρὸς Ἀθηνᾶν ἐρίζων πεφώρασαι. καὶ ἔτι μᾶλλον ὀφλήσεις, ἐπειδάν σε τραχύ τι λίαν καὶ ἄμουσον καὶ καταπληκτικὸν ὑπὸ λεοντῆς φθεγγόμενον καὶ τοὺς ἁπλουστέρους λανθάνοντά τε καὶ δεδιττόμενον ἀποδύσαντες, πολύ τι τοῦ περιβλήματος ἀπολειπόμενον διελέγξωμεν. καὶ τὸ προσωπεῖον συντρίψαντες, ὅπερ ὑπὸ φιλοσοφίας σχήματι πίθηκος ὢν ὑποδεδυκέναι τετόλμηκας, ἐπὶ τοῦ σχήματος, οὗπερ ἠξίωσαι, τοῦ λοιποῦ μένειν διδάξωμεν καὶ τῶν σοὶ μὴ προσηκόντων μεταποιεῖσθαι μηκέτι ζητεῖν. ἢ γὰρ ἂν ἀδικοῖμεν Θεόδωρόν τε καὶ τοὺς ἄλλους, καθ' ὧν ἀνέδην οὑτωσὶ τὴν πομπείαν ἀδίκως ἐποίησας, εἰ σὺ μὲν κύων »ἀναιδείην ἐπειμένε«, οὐδαμόθεν προσῆκόν σοι Πλήθωνι βοηθεῖν, κενῆς

1 Ἀνδρόνικος B] L *om.* | 27 καὶ B] L *om.* | 38 ἂν L] B *om.* | ἀδικοῖμεν L ἀδικοῦμεν B

40 Hom. Il. A 149.

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

δὲ μόνον ἔρωτι δόξης προαχθεὶς ἐτόλμησας οὕτως ἀντειπεῖν ἰταμῶς Θεοδώρῳ, τῷ ψεύδει καὶ ταῦτα συνηγορῶν καὶ ἅμα οὑτωσὶ φαύλως ἔχων ἐπιστήμης καὶ φύσεως, ἡμεῖς δέ, οἷς πολλαχόθεν προσήκει τούτοις βοηθεῖν καὶ ἅμα ἡμᾶς αὐτοὺς οὐκ ἀπαξιοῦσι, μᾶλλον δὲ πολλοὺς τῶν ἡμῖν πεπλησιακότων μὴ οὐχὶ τὰ ἐς πᾶσαν ἐπιστήμην σοῦ πολλῷ κρείττους εἶναι ὀλιγωρήσομεν. οὕτω δή τοι φαύλως τοῦ συγγενικοῦ τε καὶ φιλικοῦ καθήκοντος καὶ πάντας οὑτωσὶ περιυβρισμένους ὑπὸ σοῦ τοῦ τελχῖνος περιοψόμεθα, ὑπὲρ τοῦ ἀληθοῦς B 6v καὶ ταῦτα ἀγωνιζόμενοι, ἀλλ' οὐκ ἀποτίσομέν σοι τὸ τῇ σῇ κακοηθείᾳ προσῆκον ὀφείλημα, τοὺς λόγους τε ἀνατρέποντες καὶ τὸ σαθρὸν καὶ ἀμβλυωπὸν τῆς σῆς διανοίας ἐλέγχοντες καὶ τῶν λοιδοριῶν, ἃς ἐκείνοις προστρίψασθαι καὶ μάλα ἐγλίχου, αὐτοὺς μὲν πολλῷ κρείττους δεικνύντες, σὲ δὲ ταύταις τε καὶ πλείοσιν ἄλλαις ἔνοχον. ἢν δὲ κακῶς εἰπὼν πρότερον ἀδίκως, νῦν ἀκούων δικαίως κακῶς χαλεπαίνῃς, σαυτῷ μεμφόμενος ἐν δίκῃ ἂν μεμφόμενος εἴης. ὁ γὰρ τὰ σπέρματα καταβαλών, οὗτος καὶ τῶν φύντων αἴτιος.

Μιχαῆλος. »Ἀλλ' οὐδ' ὅσοι γε ἐξ αὐτοῦ Ἀριστοτέλους ἐς δεῦρο κείνῳ 3, 1 τιθέμενοι Πλάτωνι ἀπηντήκεσαν.« L 98

Ἀνδρόνικος. Οὐκ ἐνέτυχες ἴσως τοῖς τῶν παλαιῶν βιβλίοις. πλείστους 2 γὰρ ἂν εὗρες τῶν Ἀριστοτέλει τιθεμένων ἀντειπόντας ταῖς τοῦ Πλάτωνος δόξαις. ὧν εἷς καὶ Ἀλέξανδρος ὁ Ἀφροδισιεύς, ἀνὴρ οὐχ ὁ τυχών, ἀλλὰ τῶν γνησιωτάτων Περιπατητικῶν. τοὺς δ' ἐν ἑσπέρᾳ τῶν φιλοσοφίας ἐπιμελουμένους δογμάτων ποῦ θήσεις, εἰπέ μοι, κρείττους ἀριθμοῦ σχεδὸν ὄντας; πάντας γὰρ τούτους Ἀριστοτέλει τιθεμένους, Πλάτωνι δὲ ἀντιλέγοντας καὶ μάλα ἀσμένως εὑρήσεις. ἀλλὰ τοῦτο μὲν ὡς ὁρᾷς εἰκῇ σοι εἴρηται. τὰ δὲ λοιπά σου ἴδωμεν.

Μιχαῆλος. »Ὥστε καὶ τοιούτοιν ἐπιστρατεύειν ἀνδροῖν, παρ' οὓς μόλις 4, 1 ἂν ἄξιος εἴης, εἰ περιεῖεν, φοιτᾶν.«

Ἀνδρόνικος. Θεόδωρον μέν, εἰ περιεῖεν ἐκεῖνοι οἱ παλαιοί, ἕνα ἂν τῶν 2 ἐκείνοις ὁμοτίμων ἡγοῦντο, ἄνδρα εὖ μὲν σοφίας καὶ ἐπιστήμης ἥκοντα, εὖ δὲ καὶ ἤθους, ὡς δὴ καὶ οἱ νῦν ἡγοῦνται, οἷς αὐτὸς φῂς χαριζόμενος συντεθεικέναι τουτί σου τὸ φιλούμενον πόνημα, ἀγνοῶν ὅτι λέγεις οὐδὲ τὸ λεγόμενον, ὅπου γῆς εἶ, συνιείς. σὺ δ' εἰ περιεῖεν, οὐ παρ' ἐκείνους ἐφοίτησας ἄν. ἀπελήλασο γὰρ ἂν ἐκεῖθεν διά τε φαυλότητα τρόπων καὶ βραδυτῆτα νοῦ. παρὰ κωμῳδοποιοῖς δ' ἂν ἴσως διέτριβες καὶ οὐδὲ παρ' ἐκείνοις διὰ τιμῆς ὤν, ἀλλὰ τοῖς πάπποις τε καὶ πρεσβύταις συναριθμούμενος, ἕλκων τὸν κόρδακα, B 7 καὶ τὸν προστυχόντα τύπτων τῇ βακτηρίᾳ, ἀφανίζων τὰ σκώμματα ἢ καὶ τούτων ἀσχημονέστερα ἄττα ἐπὶ τῆς ὀρχήστρας ἀνέδην δρῶν, ἐκπίπτων τε καὶ ὑπὸ τῶν θεατῶν συριττόμενος.

---

4 πεπλησιακότων L πεπλησιοκότων B | 15 Μιχαῆλος L *om.* | 17 Ἀνδρόνικος. Οὐκ L *om.* | 29 συντεθεικέναι B συντεθηκέναι L

15 Mich. Ap. Obiect. c. I, 2 *(supra p. 162, 2 sq.).* | 25 Mich. Ap. Obiect. c. I, 2 *(supra p. 162, 5 sq.).*

Ε.Γ.Ζάχος Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

5, 1 Μιχαῆλος. »Αὐτίκα δή σοι τὸ πρῶτον ἐκεῖνο, πῶς οὐκ ἂν ἀφραίνοντος εἴη;«

2 Ἀνδρόνικος. Οὐ περιπίπτει Θεόδωρος ἑαυτῷ. οὐ γὰρ τούτοις ἁλίσκεται, οἷς μέμφεται Πλήθωνι. ὁ μὲν γὰρ ἦρξεν ὕβρεως· Θεόδωρος δὲ ἀμύνεται τὸν ὑπάρξαντα. ταῦτα δ' οὐ ταὐτόν, ὥσπερ δὴ καὶ νῦν ἐμοί τε καὶ σοί. οὐ γὰρ ὁμοίως ἀμφοῖν τις δικαίως ἂν νεμεσήσειεν. σὺ μὲν γὰρ ἀδίκως ἦρξας ὕβρεως· αὐτὸς δὲ δικαίως ἀμύνομαί σε τὸν ὑπάρξαντα. ὥστ' αὐτὸς μᾶλλον παραφρονεῖς, ὁ τοὺς ἄλλους ἀφραίνοντας καλῶν.

6, 1 L 98v Μιχαῆλος. »Ὕβριν δὲ ἢ λοιδορίαν οὐκ ἂν εἴποιμι τὰ τοιαῦτα, ἀλλ' ἔλεγχον καὶ ἀπόδειξιν, ὅσα ἄν τις ἔχοντι λέγῃ τινί.«

2 Ἀδρόνικος. Ἦ που σύ, ἤν τις ἀσεβείας ἑαλωκότα λέξας τύχῃ, τἀληθῆ λέγων — ἑάλως γάρ, ὡς οἶσθα, ἐν Βυζαντίῳ — οὐκ ἀνιασθήσῃ οὐδὲ λοιδορίαν ἡγήσῃ τὸ πρᾶγμα, ἀλλ' ἡσθεὶς τῷ ῥήματι ὁμολογήσεις χάριτας τῷ εἰπόντι. ἀλλ' οὐκ ἔστιν· ἀλλ' εὖ οἶδ' ὡς οὐ ῥήμασι μόνον ἂν ἐχρήσω ὑβριστικοῖς, ἀλλὰ καὶ τὸ ξίφος σπασάμενος ἐδίωκας ἂν ἐκεῖνον φονῶν. καίτοι κἂν τοῦτο, ὅπερ αὐτὸς τίθεσαι, λοιδορία τυγχάνῃ ὄν, ἐχρῆν σε πρῶτα Πλήθωνα τἀληθῆ κατ' Ἀριστοτέλους δείξαντα εἰρηκέναι, εἶτ' ἐκεῖνον μὲν ἀναίτιον, Θεόδωρον δὲ δεῖξαι συκοφαντοῦντα. νῦν δὲ τὸ ζητούμενον ὡς ὁμολογούμενον λαβὼν περαίνεις οὐδέν. Πλήθωνά τε ἀεὶ λοιδορούμενον Ἀριστοτέλει καὶ συκοφαντοῦντα ἐροῦμεν, Θεόδωρόν τε οὐ συκοφαντοῦντα Πλήθωνα οὐδὲ φονῶντα, ὡς αὐτὸς φής, ἀλλὰ δικαίως ἐπεξερχόμενον, ἕως ἂν Πλήθωνα μὲν τἀληθῆ κατ' Ἀριστοτέλους εἰπόντα, Θεόδωρον δὲ τὰ μὴ ὄντα ἐκείνῳ περιάψαντα δείξῃς.

7, 1 Μιχαῆλος. »Εἶτ' οὐ ξυνίῃς ἐν τοῖς ἔμπροσθεν εἰρηκὼς ἀγαθὸν αὐτόν,
B 7v μὴ συκοφάντην μηδ' ἐξαπατῶντα τὸν Πλήθωνα.«

2 Ἀνδρόνικος. Οὐ συνῆκας, ὦ'γαθέ, Θεοδώρου. οὐ γὰρ ἂν αὐτὸν αὐτῷ περιπίπτειν ἔλεγες. ἀγαθὸν γὰρ ἐκεῖνός φησι Πλήθωνα ἔθει Ἀθηναίων. ἐκεῖνοι γὰρ πάντα ἄνδρα οὐκ ἀγαθὸν μόνον, ἀλλὰ καὶ βέλτιστον ἔλεγον. ἐπεὶ καὶ αὐτὸς ἀγαθόν σε λέγων καὶ μοχθηρὸν ἔφην καὶ αὖθις ἐρῶ, καὶ ὅμως οὐ περιπίπτω ἐμαυτῷ. ἐκεῖνο μὲν γάρ σε νομίζω, τοῦτο δὲ λέγω τῷ ἔθει χρώμενος. δεδόσθω δ' ὅμως, ὡς Μιχαῆλος ἀκούει, οὕτω καὶ Θεόδωρον εἰρηκέναι· ἀλλ' οὐδ' οὕτως ἑαυτῷ περιπίπτει. ἁπλῶς μὲν γὰρ ἴσως Πλήθων ἀγαθός, πῄ δὲ οὐκ ἀγαθός, ἔνθα δηλονότι Ἀριστοτέλη συκοφαντεῖ. οὐ γὰρ τὰ ἁπλῶς κατηγορούμενα καὶ πῃ κατηγορεῖσθαι ἀνάγκη, ὥσπερ οὐδὲ τά πῃ καὶ ἁπλῶς. τὰ μὲν οὖν ἐς τὰ προοίμια εἰρημένα σοι οὕτως εὐήθως καὶ ἀμαθῶς εἴρηται, ὥστε μοι δοκεῖς παρὰ κρατῆρα καθήμενος συντεθεικέναι αὐτά. φέρε δὴ καὶ ἃ πρὸς τοὺς λόγους σοι εἴρηται, διακρούσωμεν.

---

3 Ἀνδρόνικος. Οὐ L *om.* | 5 δὴ καὶ L] B *om.* | 9 Μιχαῆλος L *om.* | 11 Ἀνδρόνικος. Ἦ L *om.* | 20 Πλήθωνα L Πλήθωνι B | 32 Ἀριστοτέλη L Ἀριστοτέλει B | 35 συντεθεικέναι B συντεθηκέναι L

1 Mich. Ap. Obiect. c. I, 3 *(supra p. 162, 9)*. | 9 Mich. Ap. Obiect. c. I, 3 *(supra p. 162, 15 sq.)*. | 23 Mich. Ap. Obiect. c. I, 3 *(supra p. 162, 26 sq.)*.

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006